τηλόθι μοι μάλα χαῖρε, πυρὸς δ' οὐκ ἀσφαλὲς ἆσσον
ἕρπειν αὐηρήν, ὦ φίλος, ἀνθερίκην.

## V [7D.]

ἀγρεύσας τὸν νεβρὸν ἀπώλεσα· χὠ μὲν ἀνατλάς
μυρία καὶ στήσας δίκτυα καὶ στάλικας
σὺν κενεαῖς χείρεσσιν ἀπέρχομαι, οἱ δ' ἀμογητί
τἀμὰ φέρουσιν, Ἔρως· οἷς σὺ γένοιο βαρύς.

## VI [8D.]

τὸ ῥόπαλον τῷ Πανὶ καὶ ἰοβόλον Πολύαινος
τόξον καὶ κάπρου τούσδε καθᾶψε πόδας,
καὶ ταύταν γωρυτὸν ἐπαυχένιόν τε κυνάγχαν
θῆκεν, ὀρειάρχᾳ δῶρα συαγρεσίας.
ἀλλ', ὦ Πὰν σκοπιῆτα, καὶ εἰσοπίσω Πολύαινον
εὔαγρον πέμποις υἱέα Σημύλεω.

## VII [9D.]

Ἀρχυλὶς ἡ Φρυγίη θαλαμηπόλος, ἡ περὶ πεύκας
πολλάκι τοὺς ἱεροὺς χευαμένη πλοκάμους,
γαλλαίῳ Κυβέλης ὀλολύγματι πολλάκι δοῦσα
τὸν βαρὺν εἰς ἀκοὰς ἦχον ἀπὸ στομάτων,
τάσδε θεῇ χαίτας περὶ δικλίδι θῆκεν ὀρείῃ,
θερμὸν ἐπεὶ λύσσης ὧδ' ἀνέπαυσε πόδα.